## VIII [10D.]

παῖς Ἀσκληπιάδεω καλῷ καλὸν εἵσατο Φοίβῳ
Γόργος ἀφ᾽ ἱμερτᾶς τοῦτο γέρας κεφαλᾶς·
Φοῖβε, σὺ δ᾽ ἵλαος, Δελφίνιε, κοῦρον ἀέξοις
εὔμοιρον λευκὴν ἄχρις ἐφ᾽ ἡλικίην.

## IX [1D.]

ἥμισυ μὲν πίσσης κωνίτιδος, ἥμισυ δ᾽ οἴνου,
Ἀρχῖν᾽, ἀτρεκέως ἥδε λάγυνος ἔχει,
λεπτοτέρης δ᾽ οὐκ οἶδ᾽ ἐρίφου κρέα· πλὴν ὅ γε πέμψας
αἰνεῖσθαι πάντων ἄξιος Ἱπποκράτης.

## X [6D.]

ἰξῷ Δεξιόνικος ὑπὸ χλωρῇ πλατανίστῳ
κόσσυφον ἀγρεύσας εἷλε κατὰ πτερύγων·
χὠ μὲν ἀναστενάχων ἀπεκώκυεν ἱερὸς ὄρνις,
ἀλλ᾽ ἐγώ, ὦ φίλ᾽ Ἔρως καὶ θαλεραὶ Χάριτες,
εἴην καὶ κίχλη καὶ κόσσυφος, ὡς ἂν ἐκείνου
ἐν χερὶ καὶ φθογγὴν καὶ γλυκὺ δάκρυ βάλω.

# THEODORIDAS

## I

ἅλικες αἵ τε κόμαι καὶ ὁ Κρωβύλος, ἃς ἀπὸ Φοίβῳ
πέξατο μολπαστᾷ κῶρος ὁ τετραέτης,